Maximus

# ΤΟΥ ΠΛΑΝΟΥΔΗ.*

Ἀντὶ τοῦ εἰπεῖν ἰδικῶς (1), Ἀττικοὶ ἰδίᾳ λέγουσι, οἷον, ὡμίλησα τῷ δεῖνι, μηδενὸς ἑτέρου παρόντος.

Ἀντὶ τοῦ εἰπεῖν ταχέως ἦλθε, τάχος ἦλθε λέγουσι, ἢ ἦλθε ταχὺ λέγουσι.

Ἀντὶ τοῦ εἰπεῖν συνεκροτήθη πόλεμος, ἐπερράγη τὰ στρατεύματα λέγουσι, καὶ ἐπερράγη πόλεμος, καὶ συνέρρηξαν ἀλλήλοις τὰ στρατεύματα.

Ἀντὶ τοῦ εἰπεῖν ὀξέως ἐπερράγη, ἤγουν βλαπτικῶς, ὀξὺς ἐπερράγη λέγουσι.

Ἀντὶ τοῦ εἰπεῖν λίαν, ὅτιμάλιστα λέγουσι, καὶ, ἀντὶ τοῦ ταχέως, ὅτιτάχιστα.

Ἀντὶ τοῦ εἰπεῖν οὐκ ἔλαττον, οὐχ ἧττον λέγουσι· τοῦτο δὲ ἀντὶ τοῦ κρείττονος (2) λαμβάνεται· οἷον, τόδε τοῦδε οὐχ ἧττον, ἀλλ' ἴσον δηλονότι ἢ κρεῖττον.

Ἀντὶ τοῦ εἰπεῖν οὐδαμῶς, πολλοῦ γε καὶ δεῖ λέγουσι· τοῦτο δὲ λέγεται προηγησαμένης ἐρωτήσεως· οἷον, ὁ δεῖνα ὅμοιος τῷ δεῖνι; πολλοῦ γε καὶ δεῖ, λέγουσι.

Ἀντὶ τοῦ εἰπεῖν διότι, ἐφ' ᾧ λέγουσι μετὰ διαστολῆς πνευμάτων, οἷον, ἐφ' ᾧ καὶ (3) κλοπὴν εἰργάσω, οὐκ ἀτιμώρητος ἔσῃ· οὕτω λέγουσι καὶ ἐφ' οἷς, οἷον, ἐφ' οἷς τὸν νόμον οὐ τηρεῖς, κολασθήσῃ.

Ἀντὶ τοῦ εἰπεῖν σπουδάζω περὶ τόδε, διὰ σπουδῆς ἔχω τόδε λέγουσι.

* E codice Parisino 1270, p. 226. Collatis Anonymi, apud Villoisonum Diatr. p. 79, ἀττικισμοῖς, putaverim illum anonymum Planudis nomine esse donandum; ni Planudes ex anonymo profecisse dicendus sit.

(1) Codex, ἰδία. Correxi e Villoisono.

(2) Malim κρεῖττον.

(3) Villois. τὴν, non καὶ, melius.

Generated on 2021-01-24 10:26 GMT / https://hdl.handle.net/2027/hvd.32044011022381
Public Domain, Google-digitized / http://www.hathitrust.org/access_use#pd-google
Digitized by Google
Original from HARVARD UNIVERSITY

Ἀντὶ τοῦ εἰπεῖν εὐχαριστῶ σοι, ἔχω σοι χάριν, οἶδά σοι χάριν· καὶ εἴσομαί σοι χάριν, ἐπὶ μέλλοντος.

Ἀντὶ τοῦ εἰπεῖν εὐχαρίστει μοι, ἔχε μοι χάριν λέγουσι, γίνωσκέ μοι χάριν.

Ἀντὶ τοῦ εἰπεῖν μνημονεύω τοῦ δεῖνος, διὰ μνήμης ἔχω τὸν δεῖνα λέγουσι· οὕτω καὶ διὰ φροντίδος ἔχω τὸν δεῖνα καὶ δι' ἀγάπης καὶ δι' ἀμελείας καὶ δι' ἐπαίνου καὶ διὰ ψόγου, ἀντὶ τοῦ μνημονεύω καὶ ἀγαπῶ (1), καὶ ἐπαινῶ καὶ ψέγω.

Τὸ του, τὸ τε, καὶ τὸ γε, ὅτε ἔχουσι πρὸ ἑαυτῶν λέξιν ἔχουσαν τόνον, ἀποβάλλει τὸν ἴδιον τόνον, οἷον, ἔκ του, ἔκ τε, ἔκ γε.

Αἱ ἐκ δύο μακρῶν ἀντωνυμίαι φυλάττουσι τὸν τόνον.

Τὸ ποῖ ἀντὶ τοῦ ποῦ γράφεται διὰ τοῦ ο καὶ ι, ὅτε κεῖται ἐπὶ ἠρεμίας, οἷον, ποῖ εἰμί; διὰ τοῦ η δὲ, ὅτε ἐπὶ κινήσεως· Σοφοκλῆς (2)· « πᾶ πᾶ γὰρ οὐκ » ἔβαν ἐγώ »; Αἰσχύλος (3)· « πῆ μ' ἄγουσι τηλέ- » πλαγτοι πλάνοι; »

Τὸ εἶτα ἀντὶ τοῦ μετὰ ταῦτα γράφεται, ἀλλὰ καὶ ἀργὸν κεῖται πολλάκις· « οὐκ ἔδει σε ἀδελφὸν » ἐμὸν ὄντα, εἶτα δειλὸν εἶναι »· καὶ ἀντὶ τοῦ ἄρα (4).

(1) Omisit librarius καὶ ἀμελῶ.
(2) Soph. Aj. 866.
(3) Æsch. Prom. 595. Codex, τηλέκπλατοι.
(4) Hic deficit libellus. Relictæ sunt paginæ puræ quinque reliquam Planudis annotationem exspectantes, ut videtur.